# Week 5 Hippocrates, *de morbo sacro* 1.10-46; PGM IV 2145-2240, IV. 3007-86, VII 193-221, XX

## Hippocrates *de morbo sacro* 1.22-46

*Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι εἰδέναι. Οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης τοῦ μὴ ἴσχειν ὅ τι προσενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν αὐτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοιδὰς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν, θαλασσίων μὲν τρίγλης, μελανούρου, κεστρέος, ἐγχέλυος (οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι), κρεῶν δὲ αἰγείου καὶ ἐλάφων καὶ χοιρίων καὶ κυνὸς (ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι τῆς κοιλίης), ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος καὶ ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι, λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομύου (δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει), ἱμάτιον δὲ μέλαν μὴ ἔχειν (θανατῶδες γὰρ τὸ μέλαν), μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι μηδὲ φορέειν, μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρὶ (ταῦτα γὰρ πάντα κωλύματα εἶναι). Ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ ἄλλα; προφάσιας λέγοντες, ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς οὐκ αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιον εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων οὐδένα ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν αὐτοῖς ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες καὶ βόες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα ἰῆται, οὐκ ἐστὶν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις. Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίνεται καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν ἐπιγίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων ἐστὶ καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν ἐπάγοι ἕτερα τεχνησάμενος, καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες καὶ μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι, καὶ ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης μᾶλλον, καὶ ὡς οἱ θεοὶ οὐκ εἰσὶ, τό τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω. Εἰ γὰρ σελήνην τε καθαιρέειν καὶ ἥλιον ἀφανίζειν καὶ χειμῶνά τε καὶ εὐδίην ποιέειν καὶ ὄμβρους καὶ αὐχμοὺς καὶ θάλασσαν ἄφορον καὶ γῆν καὶ τἄλλα τὰ τοιουτότροπα πάντα ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν ταῦτα οἷόν τ' εἶναι γενέσθαι οἱ ταῦτ' ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι καὶ θεοὺς οὔτε εἶναι νομίζειν οὔτ' ἐόντας ἰσχύειν οὐδὲν οὔτε εἴργε-*

*σθαι ἂν οὐδενὸς τῶν ἐσχάτων, ὧν ποιέοντες πῶς οὐ δεινοὶ αὐτοῖσίν εἰσιν; εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. Οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταῦτα μέμνηνται· κἢν μὲν γὰρ αἶγα μιμῶνται, κἢν βρύχωνται, κἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶν αἰτίην εἶναι. Ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. Ἢν δὲ καὶ τῆς κόπρου τι παρέῃ, ὃ πολλάκις γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη· ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. Ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ ἡρώων ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ αἵματί τε καὶ ἄλλοισι τοιούτοισιν ὥσπερ μίασμά τι ἔχοντας, ἢ ἀλάστορας, ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδέν, καθαίρουσι δέ. Καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι, τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπῃ μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται· τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου· ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθός, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ καθαῖρον καὶ ἁγνίζον καὶ ῥύμμα γινόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ, εἰσιόντες τε ἡμεῖς περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.*

**IV 2139-2235**

*Τρίστιχος Ὁμήρου πάρεδρος·*
*'ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας*
*ἵππους'*
*'ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέοισι*
*φόνοισιν'*
*'αὐτοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο*
*θαλάσσῃ.'*
*τούτους τοὺς στίχους ἐάν τις ἀποδράσας φορῇ ἐν σιδηρᾷ λάμνῃ, οὐδέποτε εὑρεθήσεται. ὁμοίως τὴν αὐτὴν λάμναν περίαπτε τῷ μέλλοντι ἀποθνήσκειν, καὶ πάντα ἀκούσει, ἃ ἐπερωτᾷς. ἐπειδάν τις καταδεδέσθαι νομίζῃ, ἐπιλεγέτω ὕδατι θαλασσίῳ ῥαίνων [....] τε πρὸς ἐπιπομπάς. ἀθλητὴς δὲ ἔχων τὴν*

*λεπίδα ἄλειπτος μένει, ὁμοίως δὲ καὶ ἡνίοχος φορῶν τὴν λεπίδα σὺν λίθῳ μάγνητι. καὶ ἐν δικαστηρίῳ ὡσαύτως. καὶ μονομάχος δὲ ταῦτα φορείτω. καταδίκῳ δὲ σφαγέντι ἁψάμενος εἰπὲ εἰς τὸ οὖς τοὺς στίχους, καὶ ὅσα θέλεις, πάντα σοι ἐρεῖ· σὺ δὲ βαστάξας τὴν λάμναν εἰς τὴν πληγὴν ἕξεις μέγα ἀγαθὸν πρός τε ὑπερέχοντας ἢ δεσπότας ἢ ἑτέρους τινάς· ἔσῃ γὰρ ἔνδοξος, πιστικός· καὶ δαίμονας καὶ θῆρας ἀποπέμπει. φοβηθήσεταί σε πᾶς, ἐν πολέμῳ ἄτρωτος ἔσῃ, αἰτήσας λήμψει, ἐπιχαρὴς ἔσῃ, ἀλλαχθήσῃ, ἧς δ᾽ ἂν παράψῃ γυναικὸς ἢ ἀνδρός, φιληθήσει· ἔνδοξος, μακάριος ἔσει, κληρονομίας ἕξεις, εὐτυχήσεις, φάρμακα νικήσεις, καταδέσμους ἀναλύσεις καὶ ἐχθροὺς νικήσεις. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος, ὅταν βάψῃς τὴν λάμναν. λόγος· ‘ὁ δεῖνα, λε<ί>πας τὸ γλυκὺ φῶς· καὶ ὑπηρέτει μοι, εἰς ὃ ἂν χρείαν σου ἔχω, ὅταν σε καλέσω (κοινόν), ὅτι ἐξορκίζω σε κατὰ τῶν χθονίων θεῶν γογγυλόρυγχε, ὀμβρολίγματε, θοηρυσηρις· ὑπηρέτει μοι, εἰς ὃ ἐάν σε ἐπικαλέσωμαι.’*

*λέγε τὸν κατὰ πάντων λόγον. καθιέρωσις τῆς πλακός· ἐλθὼν οὖν εἰς οἶκον καθαρὸν θήσεις τράπεζαν, ἐν ᾗ ἤτω σινδὼν καθαρὰ καὶ ἄνθη τὰ τοῦ καιροῦ, καὶ θύσεις ἀλέκτορα λευκόν. παρακείσθω δὲ αὐτῷ πόπανα ζʹ, πλακοῦντες ζʹ, λύχνοι ζʹ. σπένδε γάλα, μέλι, οἶνον, ἔλαιον. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος, ὅταν ἀφιεροῖς τὴν πλάκα· ‘ἧκέ μοι, ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν δεσπότης ὑπάρχων, δύσιν καὶ ἀνατολὴν ἐφορῶν καὶ μεσημβρίαν καὶ ἄρκτον ἀποβλέπων, ὁ τῶν ὅλων δεσπότης, ὁ Αἰὼν τῶν Αἰώνων· σὺ εἶ ὁ κοσμοκράτωρ, Ῥᾶ, Πᾶν αρ· πενχνουβι· βριντατηνωφρι· βρισκυλμα· αρουζαρβα· μεσενκριφι· νιπτουμι· χμουμαωφι· ϊα· ιου· ιυω· αιι· ουω αεηιουω Βαυβώ, Βαυβώ, Φόρβα, Φόρβα Ὀρεοβαζάγρα ωυοιηεα ερ.’ τὸν δὲ <λόγον> κατὰ τῆς Ἀνάγκης· μασκελλι (λόγος) ιαρχθα· εχθαβα· χοϊξ· ϊαβουχ· ιαβωχ’ καὶ τὸν κατὰ πάντων λέγε. ἡ μὲν τελετὴ αὕτη, αἱ δὲ πράξεις αἵδε· ἐπὶ χρηματισμοῦ· εἰς φύλλον δάφνης ἐπίγραψον ζμύρνᾳ μετὰ αἵματος βιαίου καὶ ὑπόθες ὑπὸ τὴν λάμναν· ‘Ἀβραά, σὺ εἶ ὁ τὰ πάντα προμηνύων μαριαφραξ.’ ἐπὶ δὲ ἁρματορακτῶν·*

ἐπίθυε μονόσκορδον καὶ ὄφεως γῆρας, γράφε δὲ ἐπὶ πλακὶ κασσιτερίνῃ· ‘νεβουτοσουαληθ βευ Ἐρβηθ Πακερβηθ καὶ ωνουφ· κατάστρεψον τὸν δεῖνα καὶ τοὺς σὺν αὐτῷ.’ κατορύξεις δὲ ἐπὶ ἀώρου θήκην τὴν λεπίδα ἐπὶ ἡμέρας γʹ· εἰς ὃν κεῖται, ἐκεῖνος διημερεύσει. ἐπὶ δὲ κατόχων· εἰς τὸ ὄστρακον ἀπὸ θαλάσσης γράφε ἐκ τοῦ ὑποκειμένου μέλανος προσβαλὼν μιλτάριον Τυφῶνος καὶ καταχώσεις εἰς ἀώρου μνῆμα σελήνης οὔσης διαμέτρου ἡλίου. ἔστιν δὲ τὰ προσγραφόμενα οἱ στίχοι οἱ γʹ καὶ ὑποκάτω· Ἰὼ Βολχοσήθ, Ἰακούβ ιαι Ἰὼ Παταθναξ Ἐρβηθ Ἰὼ Πακερβηθ. κρεμάσθω δὲ ἡ λάμνα ὡς ἐν πρώτοις. ἐπὶ δὲ χαριτησίων καὶ φίλτρων· ἐν χρυσῇ λεπίδι γράψον ‘μυρι μυρι νες μαχεσνων.’ προϋπόθες δὲ τῇ σιδηρᾷ ἡμέρας γʹ καὶ ἄρας καθαρίως φόρει. ἐπὶ δὲ ἀγωγίμων ἐπίθυε ῥόδα καὶ ῥοῦν καὶ λαβὼν φύλλα μυρσίνης ἐπίγραφε τῷ μέλανι· ‘σθενεπιω αρρωριφρασις υυυυ ιιιι, ἄξον τὴν δεῖνα τῷ δεῖνα.’ καὶ δίωκε τὸν λόγον καὶ τὴν οὐσίαν ὑπόθες αὐτῆς. προσβάλλεις δὲ τῷ ζμυρνομέλανι ἀρτεμισίας μονοκλώνου. <κρεμασθ>ήτω δὲ ἡ λάμνα ἐκ ταινίου, ἐκ τῶν τόπων ἄρας, ὅθεν ἐργάζονται οἱ τὰ ἔρια ποιοῦντες.

## IV. 3007-86

Πρὸς δαιμονιαζομένους Πιβήχεως δόκιμον. λαβὼν ἔλαιον ὀμφακίζοντα μετὰ βοτάνης μαστιγίας καὶ λωτομήτρας ἕψει μετὰ σαμψούχου ἀχρωτίστου λέγων· ‘Ἰωηλ· ως σαρθιωμι· εμωρι· θεωχιψοϊθ· σιθεμεωχ· σωθη· ιωη· μιμιψωθιωωφ· φερσωθι αεηιουω ιωη· εω Χαρι Φθᾶ. ἔξελθε ἀπὸ τοῦ δεῖνος.’ κοινόν. τὸ δὲ φυλακτήριον ἐπὶ λαμνίῳ κασσιτερίνῳ γράφε· ‘ϊαηω· Ἀβραωθιωχ· Φθᾶ μεσενψινιαω· φεωχ· ιαηω· χαρσοκ,’ καὶ περίαπτε τὸν πάσχοντα· παντὸς δαίμονος φρικτόν, ὃ φοβεῖται. στήσας ἄντικρυς ὅρκιζε. ἔστιν δὲ ὁ ὁρκισμὸς οὗτος· ‘ὁρκίζω σε κατὰ τοῦ θεοῦ τῶν Ἑβραίων Ἰησοῦ· ιαβα· ιαη· Ἀβραώθ· αϊα. Θώθ· ελε· ελω· αηω· εου· ιιβαεχ· αβαρμας· ϊαβαραου· αβελβελ· λωνα· αβρα· μαροια· βρακιων, πυριφανῆ, ὁ ἐν μέσῃ ἀρούρης καὶ χιόνος καὶ ὁμίχλης· Ταννητις καταβάτω σου ὁ ἄγ-

*γελος, ὁ ἀπαραίτητος, καὶ εἰσκρινέτω τὸν περιπτάμενον δαίμονα τοῦ πλάσματος τούτου, ὃ ἔπλασεν ὁ θεὸς ἐν τῷ ἁγίῳ ἑαυτοῦ παραδείσῳ, ὅτι ἐπεύχομαι ἅγιον θεὸν ἐπὶ Ἄμμων ιψεντανχω* (λόγος). *ὁρκίζω σε, λαβρια Ἰακούθ·* αβλαναθαναλβα· ακραμμ· (λόγος) *Ἀώθ· ιαθαβαθρα· χαχθαβραθα· χαμυν χελ· αβρωωθ· ουαβρασιλωθ· ἀλληλου· ϊελωσαϊ Ἰαήλ. ὁρκίζω σε τὸν ὀπτανθέντα τῷ Ὀσραὴλ ἐν στύλῳ φωτινῷ καὶ νεφέλῃ ἡμερινῇ καὶ ῥυσάμενον αὐτοῦ τὸν λαὸν ἐκ τοῦ Φαραὼ καὶ ἐπενέγκαντα ἐπὶ Φαραὼ τὴν δεκάπληγον διὰ τὸ παρακούειν αὐτόν. ὁρκίζω σε, πᾶν πνεῦμα δαιμόνιον, λαλῆσαι, ὁποῖον καὶ ἂν ᾖς, ὅτι ὁρκίζω σε κατὰ τῆς σφραγῖδος, ἧς ἔθετο Σολομὼν ἐπὶ τὴν γλῶσσαν τοῦ Ἰηρεμίου, καὶ ἐλάλησεν. καὶ σὺ λάλησον, ὁποῖον ἐὰν ᾖς, ἐπουράνιον ἢ ἀέριον, εἴτε ἐπίγειον εἴτε ὑπόγειον ἢ καταχθόνιον ἢ Ἐβουσαῖον ἢ Χερσαῖον ἢ Φαρισαῖον, λάλησον, ὁποῖον ἐὰν ᾖς, ὅτι ὁρκίζω σε θεὸν φωσφόρον, ἀδάμαστον, τὰ ἐν καρδίᾳ πάσης ζωῆς ἐπιστάμενον, τὸν χουοπλάστην τοῦ γένους τῶν ἀνθρώπων, τὸν ἐξαγαγόντα ἐξ ἀδήλων καὶ πυκνοῦντα τὰ νέφη καὶ ὑετίζοντα τὴν γῆν καὶ εὐλογοῦντα τοὺς καρποὺς αὐτῆς, ὃν εὐλογεῖ πᾶσα ἐνουράνιος δύναμις ἀγγέλων, ἀρχαγγέλων. ὁρκίζω σε μέγαν θεὸν Σαβαώθ, δι' ὃν ὁ Ἰορδάνης ποταμὸς ἀνεχώρησεν εἰς τὰ ὀπίσω καὶ Ἐρυθρὰ θάλασσα, ἣν ὥδευσεν Ἰσραήλ, κατέστη ἀνόδευτος· ὅτι ὁρκίζω σε τὸν καταδείξαντα τὰς ἑκατὸν τεσσεράκοντα γλώσσας καὶ διαμερίσαντα τῷ ἰδίῳ προστάγματι. ὁρκίζω σε τὸν τῶν αὐχενίων γιγάντων τοῖς πρηστῆρσι καταφλέξαντα, ὃν ὑμνεῖ ὁ οὐρανὸς τῶν οὐρανῶν, ὃν ὑμνοῦσι τὰ πτερυγώματα τοῦ χερουβίν. ὁρκίζω σε τὸν περιθέντα ὄρη τῇ θαλάσσῃ <ἢ> τεῖχος ἐξ ἄμμου, καὶ ἐπιτάξαντα αὐτῇ μὴ ὑπερβῆναι. καὶ ἐπήκουσεν ἡ ἄβυσσος· καὶ σὺ ἐπάκουσον, πᾶν πνεῦμα δαιμόνιον, ὅτι ὁρκίζω σε τὸν συνσείοντα τοὺς τέσσαρας ἀνέμους ἀπὸ τῶν ἱερῶν αἰώνων, οὐρανοειδῆ, θαλασσοειδῆ, νεφελοειδῆ, φωσφόρον, ἀδάμαστον. ὁρκίζω <σε> τὸν ἐν τῇ καθαρᾷ Ἱεροσολύμῳ, ᾧ τὸ ἄσβεστον πῦρ διὰ παντὸς αἰῶνος προσπαρακάεται, τῷ ὀνόματι αὐτοῦ τῷ ἁγίῳ· ιαεω βαφρενεμουν* (λόγος), *ὃν τρέμει γέννα πυρὸς καὶ φλόγες περιφλογίζουσι καὶ σίδηρος λακᾷ καὶ πᾶν ὄρος ἐκ θεμελίου φοβεῖται. ὁρκίζω σε, πᾶν πνεῦμα δαιμόνιον, τὸν ἐφορῶντα ἐπὶ γῆς καὶ ποιοῦντα ἔκτρομα τὰ*

*θεμείλια αὐτῆς καὶ ποιήσαντα τὰ πάντα ἐξ ὧν οὐκ ὄντων εἰς τὸ εἶναι.' ὁρκίζω δέ σε, τὸν παραλαμβάνοντα τὸν ὁρκισμὸν τοῦτον, χοίριον μὴ φαγεῖν, καὶ ὑποταγήσεταί σοι πᾶν πνεῦμα καὶ δαιμόνιον, ὁποῖον ἐὰν ἦν. ὁρκίζων δὲ φύσα α' ἀπὸ τῶν ἄκρων τῶν ποδῶν ἀφαίρων τὸ φύσημα ἕως τοῦ προσώπου, καὶ εἰς κριθήσεται. φύλασσε καθαρός· ὁ γὰρ λόγος ἐστὶν Ἑβραϊκὸς καὶ φυλασσόμενος παρὰ καθαροῖς ἀνδράσιν.*

**VII 193-221**

*Πρὸς σκορπίου πληγήν· ἐν χάρτῃ καθαρῷ τοὺς χαρακτῆρας ἐπίγραψον, ἐπίθες ἐν τῷ τόπῳ, ἐν ᾧ ἡ πληγή, καὶ ἐπίδησον τὸν χάρτην, καὶ ἔσται ἄπονος πάραυτα. ἔστι δὲ οἱ χαρακτῆρες· [...] γίνονται χαρακτῆρες ια'.*

*Πρὸς ῥεῦμα ὀφθαλμῶν· ἐπίγραφε εἰς χάρτην καὶ περίαπτε· 'ρουραρβισαρουρββαριασφρην'.*

*Πρὸς ἡμικράνιον· λαβὼν ἔλαιον εἰς τὰς χεῖράς σου εἰπὲ λόγον· 'ὁ Ζεὺς ἔσπειρεν λίθον ῥαγός· σχίζει τὴν γῆν. οὐ σπείρει· οὐκ ἀναβαίνει.' Ἄλλο· εἰς δέρμα κόκκινον ἐπίγραψον τάδε· 'Ἀβρασάξ [[]]' καὶ τὰ κοινά. ἐμπλάσας ἐπίθες τῷ κροτ[ά]φῳ.*

*Πρὸς βῆκα· ἐπὶ δέρμα ὑαίνης ἐπίγραψον μέλανι· 'θαψατε σθραιτω (ὡς εὗρον ἐν ἄλλῳ· 'τε[υ]θραιω θραιτευ θραιτω θαβαρβαωρι ⊗ λικραλιρητα') [ἀπά]λλαξον <τὸν> δεῖνα ἀπὸ τῆς συνεχούσης αὐτὸν βηκός.'*

*Ἄλλο· εἰς δέρμα ὑαίνης ἐπίγραψον τοὺς χαρακτῆρας· ΤΚΛ Γυ[]⊗ΑΚΨΑ ΤΘΥΤΕΘΡΩΙ, περίαψον εἰς τὸν τράχηλον καὶ ἄβροχον φορείτω. Πρὸς μασθῶν σκληρία<ν>· λαβὼν βύσσινον ῥάκος ἐπίγραψον μέλανι· ⊗ΕΡΤ⊗ΑΡ⊗[[]]//. Πρὸς βουβῶνα· λαβὼν σπάρτον ἀπὸ <βα>λαντίου κατὰ ἅμμα [λ]έγε ἅπαξ· 'Κάστωρ', δίς· 'θαβ//'.*

*Πρὸς ῥιγοπυρέτιον· λαβὼν ἔλαιον εἰς τὰς χεῖράς σου λέγε ζ' 'Σαβαώθ', δὶς κοινά, καὶ ἄλειφε ἀπὸ τοῦ ἱεροοστέου μέχρι τῶν ποδῶν.*

*Πρὸς καθημε[ρ]ινόν, νυκτερινόν· εἰς φύλλον ἐλαίας εἰς τὸ λευκὸν ἐπίγραψον [[]], εἰς τὸ μέλαν ἐπίγραψον ☾ καὶ περίαπτε.*

*Ἀφροδίτης στήλη, πρὸς φιλίαν καὶ χάριν καὶ πρᾶξιν καὶ φίλους· λαβὼν πέταλον κασσιτερινὸν χ[ά]ραξον χαλκῷ γραφ[είῳ], κ[αὶ] φορουμένη καθαρῶς [ἔστω]*

*Φυλακτήριον πρὸς ῥιγοπυρέτιον καθημερινόν· γράψον εἰς χάρτην καθαρὸν καὶ περίαψον·*

*Ἰάω Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει (καθυφαιρῶν)*
*αω [Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει]*
*ω [Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει]*
*Ἀβρασάξ.*

## XX

[πρὸ]ς̣ κεφαλῆ(ς) [πόνον]
[λόγο]ς̣ [–⏕–]
[⏕– σ]ὺ γὰρ εἶ θνη[τοῖ]σ̣ .[⏑⏑–]
[—⏑].φολοις π.[...]ων τ̣[έ-]
[λεσον τε]λέαν ἐπαοι̣δ[ή]ν. []
[6—8] ας Σύρας <Γ>αδαρηνῆς []
[ἐπαοιδὴ] πρὸς πᾶν κατάκαυμ[α.]
[6-8 μ]υστοδο̣κ̣ος κατεκα̣[ύθη]
[ὑψ]ο̣τάτῳ̣ δ' ἐν ὄρει κατεκαύθ̣[η]
ἑπτὰ λύ[κ]ων κρήνας, ἕπτ' ἄρ[κτων],
ἑπτὰ λεόντων. ἑπτὰ δὲ παρθε-
νικαὶ κυ[α]νώπιδες ἤρ<υ>σαν [ὕ-]
δωρ κάλπ[ι]σι κυανέαις καὶ ἔσ-
βεσαν ἀκ[άμ]ατον πῦρ
Φιλίννης Θε[σσ]αλῆς ἐπαοιδὴ π[ρὸς]
κεφαλῆς π[ό]νον
φεῦγ' ὀδύν[η κ]εφαλῆς, φεῦγε φθ̣[ίνουσ']
ὑπὸ πέτ[ρα]ν̣· φεύγουσιν δ̣ὲ [λύ]-
κοι, φεύγ[ουσι] δὲ μώνυχες [ἵπ]-
ποι .[–⏕–] πληγαῖς ὑπ̣[6—8]